35

NICANDRI NVCII FRAGMENTVM

FRANCISCVS EYSSENHARDT

EX CODICE AMBROSIANO EXSCRIPSIT

Hamburg, 1882.

Gedruckt bei Th. G. Meissner, Eines Hohen Senates, wie auch des Gymnasiums und Johanneums Buchdrucker.

Gelehrtenschule des Johanneums.

NICANDRI NVCII FRAGMENTVM

FRANCISCVS EYSSENHARDT

EX CODICE AMBROSIANO EXSCRIPSIT

Hamburg, 1882.

Gedruckt bei Th. G. Meissner, Eines Hohen Senates, wie auch des Gymnasiums und Johanneums Buchdrucker.

1882. Progr. Nr. 643.

NICANDRI NVCII FRAGMENTVM

FRANCISCVS EYSSENHARDT

EX CODICE AMBROSIANO EXSCRIPSIT

Hamburg, 1882.

Gedruckt bei Th. G. Meissner, Eines Hohen Senates, wie auch des Gymnasiums und Johanneums Buchdrucker.

Gelehrtenschule des Johanneums.

NICANDRI NVCII FRAGMENTVM

FRANCISCVS EYSSENHARDT

EX CODICE AMBROSIANO EXSCRIPSIT

Hamburg, 1882.

Gedruckt bei Th. G. Meissner, Eines Hohen Senates, wie auch des Gymnasiums und Johanneums Buchdrucker.

1882. Progr. Nr. 643.

NICANDRI NVCII FRAGMENTVM

FRANCISCVS EYSSENHARDT

EX CODICE AMBROSIANO EXSCRIPSIT

Nicandri Nucii duo codices innotuerunt, alter Bodleianus, olim Guilielmi Laudii archiepiscopi Cantabrigiensis, alter Ambrosianus (D 72 ordinis inferioris) saeculo decimo sexto in octoginta sex foliis bombycinis scriptus. et Ambrosianus quidem forma est minuscula, uersus sunt uiceni. in primo folio inscriptum est Nicandri Nucii Historia uniuersalis sui temporis. prima uerba sunt *καὶ ἰβερνίων πίστεως προστάτης καὶ τῆς ἀγγλικῆς καὶ τῆς ἰβερνικῆς ἐκκλησίας.* horum codicum alter libros priores duos continet, alter tertium cum parte extrema libri secundi, et ita cum hominibus doctis communicati sunt, ut, qui in Bodleiano sunt, libros primum et secundum Cramerus ediderit Londinii anno h. s. quadragesimo primo sumptibus societatis Camdenianae, aliae particulae[1]) quaedam in Graecia euulgarentur quidem sed in hanc urbem, in qua scribimus, non peruenirent, integros nemo edendos curaret. nos olim Mediolanii anguste feriati, quantulum otii relinquebatur Nicandro ita impendebamus, ut ex codice tres lacunas Crameri expleremus, libri secundi partem extremam, quae in codice Bodleiano desideratur, suppleremus, tertii ineuntis solos capitulorum indices, extremi integra uerba exscriberemus, quod in codice scriptum inueniebamus, nisi monitis eis qui legent non mutaremus. de uita Nicandri, qui in exercitu Henrici VIII Anglorum regis stipendia merebat, exposuit Cramerus praefationis p. VII sq.

P. 88, 6 Crameri: *ὁ δὲ Γάλλων βασιλεὺς σὺν πλείστοις στρατεύμασιν ὡς ἐλέγετο ἀρχομένου ἦρος ἐς Ἀγγλίαν ἐσβάλλειν ἡτοιμάζετο ὅθεν πρεσβείαν ὡς τοὺς τῆς Σκοτίας πρωτεύοντας ἔπεμπε παροτρύνων ἐς μάχην κατὰ Ἐνρίκου* || *καὶ χρήματα δαψιλῶν καὶ σιτία ἐπεχορήγει· Ἐνρίκος δὲ καὶ αὐτος παρετάσσετο καὶ δύναμιν ἤθροιζε.*

---

2 *ἑτοιμάζετο* A

---

[1]) Cf. K. Sathas, cuius uerba (*Νεοελληνικὴ Φιλολογία* Athen. 1868 p. 158) haec sunt: *τὸ Α' καὶ Β' βιβλίον τῶν Ἀποδημιῶν τοῦ Νουκίου ἀποτεθησαύρισται ἐν τῇ Βοδλεϊανῇ Βιβλιοθήκῃ, τὸ δὲ τρίτον μετὰ μέρους τοῦ Β' ἐν τῇ Ἀμβροσιανῇ.*

Τούτων τὸ μὲν Β ἐδημοσιεύθη ὑπὸ Ἰ. Κράμερ· παραλειφθέντων τῶν τριῶν τελευταίων κεφαλαίων ἐν οἷς λόγος γίνεται περὶ τοῦ ἐκ Πελοποννήσου στρατηγοῦ Θωμᾶ μετὰ τάγματος ἀνδρείων Ἑλλήνων μισθοφοροῦντος τότε τῷ βασιλεῖ τῶν Ἄγγλων, καὶ περὶ Καμεράχου, ἅτινα ὁ Μουστοξύδης συμπληρωτικῶς ἐδημοσίευσε. (*Πανδώρα, τόμ. ζ σελ.* 221—24) *ἐκ δὲ τοῦ Γ' βιβλίου ἐξεδόθησαν ὑπὸ τοῦ αὐτοῦ Μουστοξύδου τὸ πρῶτον καὶ τριακοστὸν τρίτον κεφάλαιον* (*Πανδώρα, σελ.* 224)· *ἐπ' ἐσχάτων δ' ἐξ ἀντιγράφου τοῦ πατρὸς ὁ Μιχαὴλ Ἀ. Μουστοξύδης ἐξέδωκε τὰ κεφάλαια ΟΗ' — ΠΓ' τοῦ Γ' λόγου, ἐν Κερκύρᾳ* 1865.

P. 90, 7: *οἱ μὲν οὖν ἡμέτεροι ψιλοὶ ἱππόται ἐκδρομάς τινας καὶ ἐπιθέσεις ὁσημέραι κατεργαζόμενοι λείαν οὐκ ὀλίγην ἤλαυνον καὶ βοσκήματα, τὴν χώραν δῃοῦντες καὶ ἅπασαν τὴν περίχωρον ληίζοντες καὶ πόλεις τινὰς οὐ μεγάλας ἐκπορθοῦντες· ἐνδόντων δ' οὐ τῶν ὑπεναντίων πρεσβείαν ὡς Ἐνρῖκον ἀπέστελλον. καί τινα τῶν σφίσι χωρίων καὶ πόλεων προσεπέδωκαν· καὶ ἀνακωχὴν τοῦ πολέμου ἐποίουν· ἡμεῖς δ' ἐν . . . .*

P. 92, 6: *ναῦν μεγίστην, οἵαν οὐδέποτ' ἐν ὠκεανῷ ἢ τῇ μεσογαίῳ θαλάττῃ μειζοτέραν ἄν τις τεθέαται· καὶ γὰρ ἐλέγετο ὡς ἐς μυρίων πίθων εὐρυχωρίαν τὸ σκάφος τῆς νεὼς ἐγεγόνει· καὶ τούτοις εὐμαρέστατα περιφέρειν καὶ δέχεσθαι· ταύτην τοίνυν τὴν ναῦν ὅ τε βασιλεὺς τηλεβόλοις . . . .*

Deinde post extrema Crameri uerba (p. 95, 6) in Ambrosiano leguntur haec *Ἔνθεν τοι καὶ Θωμᾶν τὸν τῶν ἐκ Πελοποννήσου στρατηγὸν σὺν τοῖς ἀμφ' αὐτὸν ἐν κώλῃ ἀπέστελλε καὶ τὴν τῆς κάτω καλουμένης Βολωνίας καὶ τὴν τοῦ λιμένος φυλακὴν καὶ διοίκησιν αὐτῷ ἐγχειρίσας· καὶ πάντας τοῖς ἐν ταύτῃ πείθεσθαι τούτῳ προστάξας, ἐν πολλῇ τῇ δορυφορίᾳ καὶ δόξῃ κατέστησεν· ὅθεν πρὸς Γάλλους ὁσημέραι ἔργα ἄξια λόγου ἐπεργαζόμενος τὴν προσοῦσαν αὐτῷ ἀρετὴν ἐπεδείκνυε· καὶ πολλάκις μετ' ὀλίγων ἐπὶ πλείονας ἐξ ἐπιδρομῆς ἐλαύνων κατετροποῦτο καὶ δέει τῷ ἐ|π' αὐτὸν οἱ ὑπεναντίοι οὐκ ἐν καταφρονείῳ εἴχοντο· οὗτος οὖν ὑπὸ τῶν σκοπῶν ἀπαγγειλάντων πεισθεὶς ὡς Γάλλων τῇ ἐπιούσῃ [φησάντων] ὅπλα σιτία καὶ τηλεβόλους καὶ ἄλλ' ἄττα ἐφ' ἁμαξῶν ἐν τῷ σφῶν φρουρίῳ εἰσάξαι μελλόντων, εἵπετο δὲ τούτοις καὶ στρατιωτῶν ἱππέων καταφράκτων φάλαγξ — ὡς εἶχε τάχους τοὺς ἀμφ' αὐτὸν στρατιώτας συναθροίσας ἑτοιμασθῆναι τούτους ἐκέλευσεν· ὁπλισθέντων δὲ καὶ τοῖς ἵπποις ἀναβάντων εὐθὺ Ταρωβάνης καὶ Ἀρδεσίας ἤλαυνον πόλεως· ἔδοξεν οὖν καὶ ἡμῖν τούτοις συναπιέναι οὐχ ἵν' ἀνθρωπείῳ τὰς χεῖρας εἰ τύχοι μολύναιμεν αἵματι, εἰ καὶ τοῦτο ἐξὸν ἡμῖν ἐν στρατῷ τεταγμένοις, ἀλλ' ἵνα τὴν παρὰ τῶν στρατιωτῶν θρυλλουμένην ἀνθρώπων ζωγρίαν ἐν ἐπιθέσεσι καὶ ἐπιδρομάσι γιγνομένην ἴδοιμεν. ἀμέλει καὶ τοῖς ἵπποις ἀναβάντες ἠλαύνομεν· ἦσαν δ' οἱ μετὰ τοῦ Θωμᾶ πεντήκοντα πρὸς τοῖς πεντακοσίοις· ἡ δὲ δὴ Γάλλων φάλαγξ ἐς χιλίους ἐπεμετρεῖτο· ὄρθρος δ' ἦν βαθύς, καὶ πλησίον που τῆς ὁδοῦ, ἐνθ' οἱ Γάλλοι πορεύεσθαι ἔμελλον, ἔν τινι τῶν ἑλωδῶν χωρίων λοχίσαντες, τὴν ἡμέραν ἐμένομεν. αὐτοῦ δέ που ἢ πρὸς τὸ λυκαυγὲς ἤγγελλον οἱ σκοποὶ τοὺς Γάλλους τῆς πόλεως ἐξέρχεσθαι. καὶ ἐπ' εὐθὺ τοῦ φρουρίου ἰέναι. τούτων δέ τι λεγομένων, εἴδομεν καὐτοὶ τοὺς τῆς φάλαγγος προεξάρχοντας στίλβοντας τοῖς ὅπλοις καὶ τῇ ὄψει μαρμαίροντας· ὁ οὖν στρατηγὸς Θωμᾶς συνάξας τοὺς ἀμφ' αὐτὸν ἔφη πρὸς αὐτοὺς τοιάδε· "ἄνδρες συστρατιῶται, ἡμεῖς μὲν ὡς ὁρᾶτε, ἐν ἐσχάτοις τῆς οἰκουμένης μέρεσι στρατευόμεθα δὴ βασιλεῖ καὶ ἔθνει τῶν ὑπ' ἄρκτον τελευταίῳ· οὐδὲν δ' ἐκ τῆς ἡμεδαπῆς ἐνταῦθ' ἕτερόν τι φέροντες ἥκομεν ἢ τὴν εὔτολμον ἡμῖν ἀνδρίαν καὶ γενναιότητα· διὸ πρὸς τοὺς πολεμοῦντας ἡμῖν γενναίως ἀντιπαραταξόμεθα· εἰ δὲ καὶ πλείονες ἡμῶν οἱ ὑπεναντίοι φαίνονται, οὐδὲν πρὸς ἡμᾶς καὶ τὴν ἡμετέραν ἀρετήν. Ἑλλήνων γάρ ἐσμεν παῖδες, καὶ βαρβάρων σμῆνος οὐ πτοούμεθα· τοίνυν τὴν πρέπουσαν ἡμῖν ἀρετὴν καὶ ἐν τῷ πολέμῳ καρτερίαν ἐπιδείξομεν, ἵν' ἅπαντες λέγειν ἔχοιεν, ὡς οἱ ἐξ Ἑλλάδος ἐν τοῖς Εὐρωπαίοις μέρεσιν εὑρεθέντες ἔργα χειρὸς ἀρίστης ἐπεδείξαντο· ὅθεν παρὰ*

Δημηγορία Θωμᾶ πρὸς τοὺς στρατιώτας. ξά.

2 *ἤλαντο* aut *ἤλαυτο* nisi fallor A *δῃοῦντες* A 3 *λιήζοντες* A 4 *ἀπέστελον* A 6 *ὠκεανῷ ἢ τῇ μεσογαίῳ* A 11 *ἐν κώλῃ* A: expectaueris *εἰς Κάλετα* 13 *ταυτῃ* A 13 *τούτω* A: ι subscriptum omitti notare desinam 16 *καταφρονείτω* A 17 *γάλλοι* A 22 *ἵν* A 22 *μολύνομεν* A 24 *ἐπιδρομᾶσι* A *εὔδοιμεν* A 25 *ἡ δ' ἡ* A 28 *ἤγγελον* A 29 *ἐπ* A 29 *φάλλαγγος* A 31 *ἀμφ* A 32 *Θωμᾶς* A *δὲ* A 33 *φερόμεθ* A 35 *ἡμῖν* A 36 *γὰρ ἐσμὲν* A 36 *πτωούμεθα* A 37 *ἵν ἅπαντες* A

μὲν τοῖς βασιλεῦσι κλέος ἐπιληψόμεθα, παρὰ δ' ἅπασιν ἑσπερίοις || καὶ παρωκεανίοις ἀείμνηστον εὔνοιαν κτησόμεθα. τοιγαροῦν, ὦ ἄνδρες, ἀνδρείως καὶ συντεταγμένως τοῖς ἐχθροῖς ἐπιβάλλωμεν, καὶ τὴν ὠκεάνειον ἀκτὴν αἵμασιν ἐναντίων φοινίξωμεν καὶ τὴν πάλαι θρυλλουμένην Ἑλλήνων ἀνδρίαν ἔργοις αὐτοῖς φανερὰν ποιήσωμεν." ταῦτα τοῦ Θωμᾶ εἰπόντος ἅπαντες τὰς ψυχὰς ἐπεῤῥώσθησαν· καὶ τάγμασι δυσὶ τούτους μερίσας τὸ μὲν Ἐλεαζάρῳ τῷ αὐτοῦ σημαιοφόρῳ ἐπέδωκε, τὸ δ' αὐτὸς ἐπεῖχε· καὶ τῷ μὲν σημαιοφόρῳ κατάνω που ἐναυλίοις εἰσβάλλειν ἐκέλευσεν· αὐτὸς δὲ τὸν ὑπασπιστὴν συμπαραλαβὼν καὶ ἐς τάξιν τοὺς σὺν αὐτῷ καταστήσας καὶ τὸ δόρυ κλίνας ὁμόσε τοῖς ἐναντίοις ἐχώρει· τὸν προστυχόντα δὲ τῇ γῇ προσαράξας καὶ μετὰ τοῦτον ἕτερον ἐς τὸ πρόσω εἰσέβαλλε· κατακλασθέντος οὖν τοῦ δόρατος ξιφήρης τοῖς πολεμίοις ἐπέβαινε· καὶ ἔργα χειρὸς γενναίας ἐνδειξάμενος οὐδαμῶς ἐνεδίδου· οὐ μὲν δὴ ἠμέλουν οἱ ἕτεροι· ἀλλ' ἄνδρες ἀγαθοὶ γιγνόμενοι ἀξίως ἐμάχοντο· οἱ Γάλλοι δὲ καίτοι ἄλκιμοι καὶ καρτερικοὶ ὄντες, ἀλλ' οὖν γε ὑπὸ τῆς τούτων διασκεδασθέντες ῥύμης, ἀτάκτως πως ἐφεύγοντο· ἐν τούτῳ δ' ὁ σημαιοφόρος Ἐλεάζαρος ἐκ τῆς οὐραγίας κατάνω που || ἐσβαλὼν ἐξαπίνης τούτους πτοίας ἐνέπλησε καὶ συγχύσεως· ὅθεν πρὸς φυγὴν ὥρμησαν· ὄντος δὲ τοῦ χωρίου ψαμμώδους καὶ χαύνου οἱ τῶν φευγόντων ἵπποι ὠλίσθαινον καὶ τοὺς ἀναβάτας κατηδάφιζον· οἵτινες ὑπὸ τῶν Ἑλλήνων ἡλίσκοντο· ἐγγὺς δ' ὄντες Ἀρδεσίου καὶ Ταρωβάνης οἱ τῶν γ' ἄλλων περισωθέντες πρὸς τὰς πόλεις ταύτας ἐτράποντο. καὶ νίκη λαμπρὰ τῷ Θωμᾷ σὺν τοῖς ἀμφ' αὐτὸν ἐγεγόνει. καὶ πλείστων λαφύρων γεγόνασι κύριοι· καὶ πολλῶν μὲν ἁμαξῶν σιτία, πλειόνων δὲ τηλεβόλων καὶ ἑτέρων ὅπλων ἐγκρατεῖς γεγονότες, οὐ μὴν δ' ἀλλὰ καὶ ἵππων καὶ ἱππέων καταφράκτων, ὡς τριάκοντα ζωγρίᾳ εἰληφότες, τροπαιοφόροι πρὸς τοὺς ἡμετέρους ἐς Βολωνίαν ἐπανεστράφημεν· οἳ καὶ ὑπεδέχοντο ἡμᾶς παιανίζοντες, τὸν ἡμέτερον στρατηγὸν Θωμᾶν εὐφημοῦντες, ἀνδρείαν δὲ τὴν τούτου καὶ γενναιότητα σὺν τοῖς ἀμφ' αὐτὸν ἐκθειάζοντες· ἔπεσον δ' ἐν τῇ τοιαύτῃ εἰσβολῇ Ἑλλήνων μὲν πέντε καὶ τριάκοντα· ἐτρώθησαν δ' ἐς τεσσαράκοντα· τῶν Γάλλων δ' ἐς τριακοσίους ἑξήκοντα· κεκάκωνται δ' ἐς ἑκατὸν ἢ καὶ πλείονες· ἐτρώθη δὲ καὶ αὐτὸς ὁ Θωμᾶς, τὸν μηρὸν δορατισθείς· δυοῖν γὰρ τοῖν ὑπεναντίοιν ἐς ταὐτὸ συνελθόντοιν καὶ ἐγκρατῶς κατὰ πλευρὰν || βαλόντοιν, οὐ μήν γε τοῦτον τοῦ ἵππου κατήνεγκαν· ταῦτα τοῦ Θωμᾶ κατεργασαμένου κλέος οὐκ ὀλίγον παρὰ τῷ βασιλεῖ Ἀγγλίας ἀπηνέγκατο· ὅθεν τοῖς ἀμφ' αὐτὸν κορυφαίοις στρατηγοῖς ἐναριθμήσας πρόσοδον οὐκ ὀλίγην χρημάτων αὐτῷ δίδοσθαι κατ' ἔτος ἐπέταττε· τριβομένου δ' ὁσημέραι τῶν στρατιωτῶν ἑκατέρωθεν καὶ οὐδὲν ἄξιον πραττόντων λόγου, ἀλλ' ἐκδρομάς τινας καὶ ἐπιθέσεις συχνάκις ποιουμένων, καὶ ποτὲ μὲν ἐκ τούτων, ὅτε δ' αὖ ἐξ ἐκείνων ἡλίσκοντο· καὶ λύτρα τιθεμένων ἑκατέρων καὶ ἀνταλλαττομένων τῶν αἰχμαλώτων, ἠλευθεροῦντο· καὶ ταῦτα μὲν ὑπὸ τῶν μισθοφόρων ξένων καὶ τῶν Γάλλων ἐπράττετο· ὑπὸ δ' Ἄγγλων καὶ Γάλλων οὐδαμῶς· ἀλλά τις ἀπηνεστάτη καὶ ἀμείλικτος μάχη ἀμφοῖν διεκρίνετο ὡς τὸν ἁλισκόμενον ὑφ' ἑκατέρων δυσμενέστατα διετίθουν καὶ ὠμότατα κατέκτεινον· καὶ μὴν οὐ λύτρα οὐδέ τι ἕτερον οὐδὲν τῆς ὀργῆς τούτους ἐμάλαττεν ἢ πρὸς ἔλεον ἔκαμπτε· μᾶλλον δ' ἐξαγριωθῆναι τοιαύτη τις μάχη θηριώδης ἀμφοῖν τοῖν γενοῖν τούτοιν ἐπεφέρετο· ἐν τούτοις δ' ὄντες ἔδοξε τῷ βασιλεῖ Ἐνρίκῳ φρούριον ἐν τῇ παραθαλαττιδίῳ αὐτοῦ ταύτῃ οἰκοδομῆσαι ἀκτῇ, ἀπέχον μὲν ἐκ Βολωνίας μιλίοις ἑπτά, ἐκ δὲ Κάλετος ἕνδεκα, ἔνθα καὶ

---

6 *ἐλεᾶζάρω* A 7 *κατανώ που* A 10 num *ἐπέβαινε* in A scriptum sit iure dubites 11 *ἠμέλλουν* A 13 *τοῦτο* A 14 *εἰσβαλλὼν* A 15 *ὅρμησαν* A *χαύνους* (sed ς esse non affirmauerim) A 16 *ὀλίσθευον* A 21 *ζωγρι* (supra ι additum αι) A 21 *τοὺς τοὺς* A 23 *εἰσβολὴ* A 26 *ἐγκρασίως* A 34 *ἀμίλειχτος* A 35 *κατέκταινον* A 37 *ἐξηγρίωναι* ut uid. A *τίς* A

λιμὴν οὐ μικρός τις ἐφέστηκε· τοῦθ' ἕνεκα οἰκοδόμους καὶ τέκτονας σκαφέας τε καὶ πλινθοποιοὺς ἐκ τῆς νήσου ἀπέστελλε καὶ πύργον μετὰ προμαχεώνων καὶ ἐπάλξεων ἐπῳκοδόμει καὶ τάφοις αὐτὸν περιεκύκλου καὶ τηλεβόλοις καὶ ἑτέροις ὅπλοις ὠχύρου· οὐ πολλοῦ δὲ παρελθόντος χρόνου καί τινες τῶν ἀμφὶ τοῖς βασιλεῦσι ἐς ἀνακωχὴν τοῦ πολέμου τούτους ἐκίνησαν, καὶ πρὸς εἰρήνην ἠρέθιζον, τῶν συνεύνων ἐς τοῦτο μεσολαβησάντων, ὡς ἐλέγετο· πεισθέντες δ' οὖν ποτε τοῖς προτεινομένοις πρέσβεις ἐξ ἑκατέρων ἐστέλλοντο ἵν' ἐς ταὐτὸ συνέλθοιεν, καὶ τὸ σφίσι δοκοῦν ἀποφήνασθαι· καὶ ἐκ μὲν Γαλλίας τρεῖς ἀπεστέλλοντο· ὁμοίως δ' αὖ ἐξ Ἀγγλίας τρεῖς ἕτεροι ἐπήλθεσαν· καὶ ἐς πόλιν Γυνέσιον ἐν ὁρίοις οὖσαν τῆς Γάλλων γῆς ἐσκήνωσαν, ἔνθα τὰς ξυμβάσεις διετέλεσαν καὶ ἀνακωχὴν τοῦ πολέμου καὶ εἰρήνην ἐπρυτάνευον· αἱ δὲ ξυμβάσεις τοιαίδε τινὲς εἶναι ἐλέγοντο· ὡς οἱ μὲν Γάλλοι ἐν τρισὶν ἔτεσι διδόναι τῷ βασιλεῖ Ἀγγλίας χρυσίνων μυριάδας διακοσίας, καὶ τὸ μὲν ἥμισυ τούτων οἶνόν τε καὶ πυροὺς καὶ ἕτερα τῶν σπερμάτων ἐς Ἀγγλίαν ἀποστέλλειν, τἄλλα δ' ἐς χρυσὸν ἀριθμεῖσθαι· καὶ τὸν ἐπέτειον φόρον αὖθις κατ' ἔτος χορηγεῖν· οἱ Ἄγγλοι δὲ Βολωνίαν μὲν σὺν τοῖς ὁρίοις τῷ Γάλλῳ ἐάσαι ἐμβασιλεύειν, καὶ μηκέτι τὰς πόλεις Γαλατείας κακοῦν, εἶναι δ' ἀμνηστείαν ἑκατέροις καὶ ἀσυλίαν, εἰσιέναι δὲ καὶ ἐξιέναι ἀκωλύτως, ἔχειν δ' εἰρήνην καὶ ὁμαιχμίαν διαιωνίζουσαν· ἄχρι δ' οὖν ἐκ Γαλλίας τὰ χρήματα χορηγηθείη, τήν τε Βολωνίαν ἐνέχυρον Ἄγγλοι σὺν ὁρίοις ἔχοιεν. καὶ ταῦτα μὲν τῶν πρεσβευτῶν συμπερανάντων τῶν βασιλέων δ' ἑκατέρων συναινεσάντων ἡ εἰρήνη τούτων ἐπεψηφίσθη· καὶ τέταρτον ἔτος τοῦ πολέμου τούτου ἤδη συνεπεραίνετο· τῶν πραγμάτων οὖν εἰρηνοποιηθέντων τὰς δυνάμεις ἀπέλυον· καὶ πολλοὶ μὲν ἐς τὰς σφῶν πατρίδας ἐπανέστρεφον· ἕτεροι δ' ἐς ἑτέρας ἀπίεσαν πόλεις καὶ χώρας· καὶ ἄλλος ἄλλῃ διεσπάρη παροικῶν, Θωμᾶς δ' ὁ ἡμέτερος στρατηγὸς ἐς Ἀγγλίαν ἐπαλινόστει· ἐγὼ δὲ σὺν ἄλλοις τισὶν ἱμειρόμενος ἐς Ἰταλίαν ἐπανελθεῖν ἄδειαν τῷ στρατηγῷ ᾔτησα Θωμᾷ· ὁ δ' ἀσμένως μετέδωκε καὶ χρήματα καὶ ἵππον ἀποχρώντως ἐπιδιδοὺς ἐλευθέριός τις καὶ μεγαλοπρεπὴς ἔδοξεν· ἡμεῖς δ' ἐκ Βολωνίας ἐς Κάλετα ἀπήλθομεν καὶ τὰ πρὸς τὴν ἡμετέραν ὁδὸν ἑτοιμάσαντες τῆς ὁδοῦ ἠρξάμεθα· ἔδοξεν οὖν ἡμῖν ἐκ Βραβαντίας ἐς Γαλλίαν ἀπελθεῖν διὰ τὸ ἀπόλεμον καὶ εἰρηνικὴν ἐκ πολλοῦ γεγονέναι τὴν χώραν· ὅθεν ἐς Βούργας ἐπανήλθομεν· ἐκ Βουργῶν δ' ἐς Γάνδαυον· ἐκ Γανδάυου δ' ἐς Βρουξέλλας, κἀκεῖθεν ἐς πόλιν Βίνσιον· ἐκ δὲ Βινσίου ἐς πόλιν οὐ μικρὰν, καλουμένην Τόρνακον· ἡ πόλις δ' αὕτη ὑφ' ἐπίσκοπον τάττεται μεγάλη τις οὖσα καὶ πολυάνθρωπος· τετειχισμένη γάρ ἐστι καὶ τάφοις περικυκλουμένη, οἴκοις δὲ μεγάλοις καὶ ναοῖς εὐθυνομένη· ποταμὸς δ' ἐκ ταύτης κατέρχεται, οὐ μήν γε μικρὸς ἀλλὰ καὶ ναυσίπορος· καὶ γὰρ ἐξελθόντες ἐκ ταύτης ἤλθομεν ἐς πόλιν μεγάλην

Καμέρακον πόλις ἐπίσημος. ξβ'.

καὶ περίφημον καλουμένην Καμέρακον. αὕτη δ' οὖν ἡ πόλις διορίζει τὴν αὐτοκράτορος ἐκ τῆς τοῦ Γάλλων βασιλέως χώρας· ἔστι δὲ προὔχουσα τῶν ἐν ταύτῃ τῇ περιχώρῳ πόλεων, τείχεσι περικυκλουμένη καὶ ἐπάλξεσι προπυργίοις τε καὶ τάφοις καί τοῖς ἄλλοις, ἃ τὰς πόλεις δυσαλώτους ποιεῖν εἴωθε· πρὸς δὲ κτίσμασιν οἴκων καὶ ναῶν καλλωπίσμασιν ἁπάσας τὰς ὁμορούσας πόλεις πλεονεκτεῖ· καὶ πάλαι μὲν ὑπ' ἐπίσκοπον ἐτάττετο, νῦν δ' ἐπεὶ τῷ αὐτοκράτορι οἱ κατοικοῦντες προσεκεκρούκεσαν, ἁρμοστὴν ἐτήσιον αὐτοῖς ἐπιπέμπει. ὃς τὰ κατ' αὐτὴν διοικεῖ· ἔν τινι δὲ μετεωροτέρῳ τῆς πόλεως τόπῳ ἔγγιστα τείχους, φρούριον γενέσθαι προσέταξε· καὶ τοῦτ' ἐξαρτύσας καὶ ὀχυρώσας φρουρὰν ἀσφαλεστάτην ἱππέων κατεστήσατο·

2 πύργον A ἐπωκοδόμει A 5 συνεύνων A 6 ἵν A 6 ταυτὸ A 8 ἐπήλθοσαν A
10 τοιαιδέτινες A 11 τὰ μὲν ἡμίσυ A οἶνον δὲ A 12 τ' ἄλλα A 13 κατ A 14 ἐν βασιλεῖ A
17 συμπεραινάντων A 21 ἄλλος ἄλλη A 25 σφετέραν A 29 τίς A 30 εὐθυνουμένη A
32 ἐπισημος A 34 οἷς A 36 ὑφ' A

ὅθεν πρὸς τὰς τῆς πόλεως ἐπαναστάσεις τυχὸν καὶ ἐπιθέσεις τό τε φρούριον ἀμβλύνων πως τὰς τῶν πολιτῶν γνώμας ἐφέστηκε· ταύτης γὰρ ἕνεκα τῆς χρείας ᾠκοδομήθη· ἅπαντες δ' οἱ ἐν τῇ πόλει ταύτῃ καὶ πάσῃ τῇ περιχώρῳ τῇ Γάλλων φωνῇ ἐπαΐουσι καὶ ταύτῃ προςδιαλέγονται· πρὸς δ' ἐσθῆτας καὶ ἤθη καὶ ταῖς ἄλλαις διαιτήσεσι τοῖς Γάλλοις ἐξωμοίωνται. ἦν δ' ἡ χώρα πεδιάσιμός τις καὶ γηλοφίαις εὐκάρποις καὶ δρυμῶσι κατάπλεως· ποταμοῖς τε καὶ πηγαῖς κατάῤῥυτος· ἡμεῖς δὲ ἐς Καμέρακον αὐλισθέντες ἔδοξεν ἡμῖν, ἐνταῦθά που προςκαρτερῆσαι, μέχρις ἂν τὰ περὶ ἡμῶν ἑτοιμάσαι· καὶ γὰρ τὴν ἐκ Γαλατείας ὁδὸν ἀνύσαι ἔγνωμεν καὶ τὰς ἐν ταύτῃ πόλεις καὶ χώρας ὡς οἷόν θ' ἡμῖν ἱστορῆσαι· ὅπως ἔχοιεν οἱ φιλομαθεῖς εἰδέναι τὰ τῆς εὐδαίμονος Γαλλίας χωρία τάς τε πόλεις καὶ κώμας, ποταμούς τε καὶ τόπων θέσεις, ἀνθρώπων δ' ἀναρίθμων ἰδιότητας, γῆς τε ἀρετὴν καὶ εὐθυνείαν, καὶ τοῖς ἄλλοις, οἷς ἡ Κελτῶν ἐπιφέρει γαῖα, ἐπισκοπῆσαι. σὺ δέ μοι χαῖρε, φίλων ἄριστε καὶ ὑπερήδιστε, καὶ τοῦ σοῦ, εἰ καὶ μακρὰν ἀφέστηκεν ἀπὸ σοῦ, μνημόνευε καὶ τῆς ἐκ νεότητος ἡμῖν συναναστροφῆς μὴ ἐπιλάθοι· ἧς μεμνημένος τὸν χρόνον ἐκεῖνον οἴμοι στενάζων ἀναζητῶ· πρόσεστι δέ μοι ἐλπὶς καὶ τὴν παρακμὴν τῆς ἡμῶν ἡλικίας πρὸς τὴν τοῦ κρείττονος ἐξεύρεσιν μεταρρυθμίσασθαι καὶ τῆς ἡμῶν ἐπιθυμίας πληρωθῆναι τὴν ἔφεσιν· εἶθε καὶ συμβιώσοιμεν ἐν ἀρετῇ καὶ σεμνῇ πολιτείᾳ, ἧς ἐφιέμενος καραδοκῶ, εὔχομαι δὲ καὶ σοὶ τοιόνδε τι ἐπινοηθῆναι, τὰ γὰρ αὐτὰ εὐχόμεθα καὶ τοῖς φίλοις, ἅπερ ἂν ἑαυτοῖς εὐξαίμεθα· εἰ δ' ἴσως τὰ ἐλλείποντα τῆς ἐμῆς ἀποδημίας μαθεῖν ἐθέλεις, ἐν τῷ μετὰ τοῦτόν μοι λόγῳ λεχθήσεται.

ΝΙΚΑΝΔΡΟΥ ΝΟΥΚΙΟΥ ΤΟΥ ΚΕΡ|ΚΥΡΑΙΟΥ ἈΠΟΔΗΜΙΩΝ ΛΟΓΟΣ Γ

Secuntur capitula, quorum indices adscripsi, haec:

περὶ τῆς βασιλίδος Παιονίας Μαρίας. ξγ'.
περὶ Λουτεκίας τῶν Παρισίων. ξδ'.
περὶ τῆς Γαλλίας κατὰ μέρος. ξε'.
περὶ τῶν ποταμῶν Γαλλίας. ξς'.
περὶ τῶν καλουμένων βαρώνων. ξζ'.
περὶ τοῦ βασιλέως Γάλλων Φραγκίσκου. ξη'.
Φραγκίσκου πρὸς Μεδιόλανον ἐκστρατεία. ξθ'.
περὶ τῆς τοῦ βασιλέως Φραγκίσκου ἁλώσεως. ξς'.
περὶ τῆς ἐπανόδου Φραγκίσκου καὶ τοῦ γάμου. ξζ'.
περὶ τῆς ἁλώσεως τῆς Ῥωμαίων πόλεως ὑπὸ βαρβάρων. ξη'.
ὅσα οἱ στρατιῶται Ῥωμαίοις κακὰ ἐνεδείξαντο. ξθ'.
πολιορκία Νεαπόλεως. ο'.
περὶ Χαϊρατίνεω τοῦ καὶ Βαρβάρωσα. οα'.
περὶ Τύνητος πόλεως ἐν Λιβύῃ. οβ'.
περὶ τοῦ Ἀνδρέου δ' Ἀούρια. ογ'.
περὶ τῆς λυτρώσεως τῶν αἰχμαλώτων εἰς Τύνητα. οδ'.
περὶ τῆς ἐν Πελοποννήσῳ πόλεως Κορώνης. οε'.
περὶ τῆς Πάτρας πόλεως λεηλασίας. ος'.

---

2 οἰκοδομήθη A 3 περιχώρω A φωνη A 4 τοῖς ἄλλοις A ἐξομοίωνται A 10 εἰδιότητας A εὐθεσίαν aut simile aliquid expectaueris 12 ὑπερίδυστε A ante εἰ expectaueris aut φίλου aut simile aliquid. 13 ἐπιλάθου A 14 εὐηρέςησιν (sed ς incerta cest) A: requiritur ἐξεύρεσιν 15 expectaueris ἔφεσιν 16 καί σοι A τοιονδέ A 18 ἐθέλης A τούτω A 19 accentus literis maiusculis additos omisi 34 λυβίῃ A

Extrema huius capituli uerba sunt haec:

ἐξελθόντες δὲ καὶ ἐκ Σούσης καὶ διὰ πεδιασίμων ὁδεύοντες χωρίων ἔτι δὲ καρποφόρων κοιλάδων, ἤλθομεν εἰς πόλιν ἐπίσημον, καλουμένην Ταυρίνην· ἔστι δὲ πόλις ὀχυρωτάτη, τείχεσι περικυκλουμένη καὶ τάφροις εὐρυχώροις, προπυργίοις καὶ ἐπάλξεσι καὶ προμαχεῶσι περιβεβλημένη· καὶ γὰρ ὁ βασιλεὺς Γαλλίας, ὡς πάντων τῶν ἐν τῇ τῶν Ἄλπεων ὑπωρείᾳ πόλεων ὑπερέχουσα, φρουρὰν ἐπισήμων ἀνδρῶν οὐκ ὀλίγων ἐς ταύτην κρατεῖν εἴωθεν, ὡς μητρόπολιν οὖσαν, καὶ πάντων τῶν ἐν Σαβωίᾳ ἔνδοθεν τῶν Ἄλπεων ἡγεμονεύουσαν· σκηνώσαντες δὲ κἂν ταύτῃ ἡμέρας τινάς, ἐξήλθομεν· καὶ Κίβασκον ἀμείψαντες πολίχνην καὶ Γερμάνην ἤλθομεν ἐς Οὐερκέλλιον· ἔστι δ᾽ οὐ μικρὰ πόλις ἀλλὰ καὶ τείχεα καὶ περίβολον καὶ ἄλλ᾽ ἅττα αὐτὴν ὀχυροῦντα ἀποχρώντως κέκτηται· ἀπὸ δὲ ταύτης τὰ πρὸς ἕω μέχρι νότου, καὶ τῶν Ἀδρίου μυχῶν Λογγιβαρδία κέκληται· ἐξελθόντες τοίνυν ἡμεῖς ἐξ Οὐερκελλίου ἤλθομεν εἰς πόλιν ἐπισημοτάτην καὶ κορυφαίαν τῶν ἐν Λογγιβαρδίᾳ καὶ Λιγυστικῇ, καλουμένην Μεδιόλανον· αὕτη δ᾽ ἡ περίφημος πόλις, εἰ καὶ τῷ μεγέθει ἁπασῶν τῶν ἐν Ἰταλίᾳ φαίνεται πόλεων ὑπερέχουσα, ἀλλ᾽ οὖν καὶ καλλίστοις κτίσμασι πρὸς ἁπάσας ἐναμιλλᾶται καὶ τείχεσι περικυκλοῦται καὶ τάφροις· ὁ γὰρ ποταμὸς Τεσίνης καλούμενος πλεῖστον ἀμείβει μέρος τῆς πόλεως, ἐπικαμπίων δὲ ταῖς σκολιότησιν, ὑδάτων εὐπορίαν παρέχει τοῖς ἐνοικοῦσιν· ἀκρόπολις δ᾽ ἐν ταύτῃ καὶ φρούριον ἔκτισται, θαυμάσιόν τι χρῆμα τοῖς ὁρῶσι κρινόμενον· οὐ μόνον δὲ τούτου τῆς ὀχυρότητος καὶ περιεργίας, τάφρων τε καὶ προπυργίων, ἐπάλξεών τε καὶ προμαχεώνων, προβλημάτων τε καὶ σχημάτων ἄν τις θαυμάσειεν ἀλλά τε καὶ τῆς πολυτελείας καὶ τῆς περιέργου οἰκοδομῆς, ἐχούσης μετὰ τοῦ τερπνοῦ καὶ τὸ χρήσιμον, μᾶλλον δὲ τῆς δαψιλείας τῶν τηλεβόλων, καὶ ἑτέρων ἀμυντηρίων καὶ πολεμικῶν ὅπλων, καὶ τῆς παμπληθοῦς πρὸς ταῦτα παρασκευῆς· ἐν ταύτῃ δὲ τῇ ἀκροπόλει ὁ αὐτοκράτωρ ἱππαιῶν φάλαγγας κρατεῖν εἴωθεν· ὅθεν αἱ εἰς τὴν Μεδιολάνου

περὶ τῆς Ταυρίνης πόλεως ἐπισήμου. ϟδʹ.

περὶ τῆς μεγίστης πόλεως Μεδιολάνου. ϟεʹ.

4 κερκυρα A 7 κέρκυρα A 9 σουλαϊμανεω A 10 ad Ἀφρικὴν add. in marg. ἐν λίβῃ A: cf. Hispanorum *Arjel* 14 ἔκφασις A 16 καί om A 22 ὑπόρεια A 24 κἀνταυτῃ A 27 νότου A 28 ἐπισημοτατην A 29 λογγιβαρδια A λιγυστικῇ A 30 τῶ A 33 et bis postea ταυτῃ A 39 ὁ τ᾽ A

ἐπικράτειαν οὖσαι πόλεις τῷ αὐτοκράτορι ὑπακούουσιν· ὁ γὰρ ταύτης πάλαι ἡγεμὼν ἄπαις τοῦ βίου μεθιστὰς Κάρολον αὐτοκράτορα διάδοχον ἀπέλιπεν ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται. ἐμπορικὴ δ' οὖσα, πλῆθος ἐμπόρων παροικεῖ, ἀνθρώπων δ' ἀναρίθμων σχεδόν τοι πλῆθος ἐν ταύτῃ κατοικεῖ· τέχνας δὲ τὰς δημιουργικάς, μάλιστα τὰς διὰ σι||δήρου, ὡς οὐδεμία τῶν ἐν Ἰταλίᾳ, ὡς ὁρᾶν ἔξεστιν, ἐπεργάζονται· τὰς δὲ προαστείων οἰκήσεις, τὰς ἔξω φημὶ τῶν τειχῶν, πόλεις ταύτας εἰκάσειεν ἄν τις ἢ προάστεια· ἔστι δ' αὕτη ἡ Μεδιολάνου χώρα πάμφορός τις καὶ εὔκαρπος καὶ πολυπρόσοδος, ποταμοῖς τε καὶ πηγαῖς κατάῤῥυτος ὡς οὐκ ἄλλη τῶν ἐν Λογγιβαρδίᾳ καὶ Λιγυστικῇ· διὰ δὲ ταύτης τῆς πόλεως ἥ τε μάχη καὶ ἔρις Φραγκίσκου βασιλέως Γάλλων καὶ Καρόλου αὐτοκράτορος ἄνωθεν ἠρέθιστο· καὶ περὶ μὲν ταύτης καὶ τῶν ταύτῃ συμβάντων ἄλλοις ἴσως ἱστόρηται πλεῖον ἢ ἡμεῖς τὰ κατ' αὐτὴν πολυπραγμονήσαντες· ἡμεῖς δὲ μετὰ τρίτην ἡμέραν ἐκ ταύτης ἐξελθόντες τῇ ἐπιούσῃ ἤλθομεν εἰς Πλακεντίαν πόλιν ἐν ὄχθαις κειμένην τοῦ μεγίστου τῶν ποταμῶν Πάδου, περὶ οὗ ἐν τῷ πρώτῳ μοι λόγῳ ἱκανῶς εἴρηται· ἡ τοίνυν Πλακεντία ἐπίσημος τῶν ἐν Ἰταλίᾳ καθέστηκε πόλεων· τείχεσί τε περικυκλουμένη καὶ τάφροις καὶ προπυργίοις καὶ τοῖς ἄλλοις ὀχυρώμασι· τάττεται δ' ὑφ' ἡγεμόνι· καὶ γὰρ οὐ πρὸ πολλοῦ ἐν τῇ τοῦ ἀρχιερέως Ῥωμαίων ἐπι||κρατείᾳ ἔνευεν· ἔναγχος δ' ὅτ' ἀρχιερεὺς τὸν υἱὸν ἡγεμόνα καὶ ἀρχηγὸν ἐν ταύτῃ κατέστησεν. οὐ πολλοῦ δὲ παρελθόντος καιροῦ τῆς ἡγεμονίας καὶ τῆς ζωῆς ἐστερίσκετο· οἱ γὰρ ὑπήκοοι τὴν τοῦ σφῶν ἡγεμόνος λάγνον καὶ ἀσελγῆ μὴ φέροντες δίαιταν, τινὲς τῶν προκριτῶν ὁμονοήσαντες καὶ καιροῦ δραξάμενοι καὶ τοὺς ἐν τῇ ἀκροπόλει φύλακας παραλογισάμενοι, ἔνθα κατῴκει, μέχρι τοῦ κοιτῶνος, τοῦτον κατέσφαξαν καὶ ἀτίμως ἔξωθεν τείχους ἀπέῤῥιψαν· ἐγκρατεῖς δὲ ῥαδίως γεγονότες τῆς ἀκροπόλεως καὶ τὸν αὐτοκράτορα ἐπικαλεσάμενοι τούτῳ τὴν πόλιν καὶ τὰ πράγματα ἐνεχείρισαν, συναινέσει τῶν οἰκητόρων καὶ τοῦ δήμου παντὸς ὡς ἐλέγετο. τανῦν δὲ Καρόλῳ τῷ αὐτοκράτορι καὐτὴ ὑποτέτακται. κατὰ γὰρ Πλακεντίαν ὁ Τρεβίας ποταμὸς συμβάλλει τῷ Πάδῳ, ὁμοίως καὶ ἄλλοι τινές· ἡμεῖς τοίνυν διὰ τοῦ ποταμοῦ πλεῦσαι βουληθέντες τοὺς ἵππους αὐτοῦ που ἐν Πλακεντίᾳ ἐάσαντες καὶ νηὶ ἐμβάντες, καὶ διὰ τοῦ Πάδου πλέοντες ἤλθομεν εἰς πόλιν παρὰ ποταμὸν κειμένην, καλουμένην Κρημώνην, καλήν τε καὶ ὀχυράν, καὶ αὐτὴν αὐτοκράτορος, ἐς ἣν ἐφοδιασθέντες ἐς τὸ πρόσω || ἐπλέομεν· τριταῖοι δὲ ἐς Φεῤῥαρίαν ἀπιόντες τῇ ἐπιούσῃ πρὸς Βωνονίαν ἀφικόμεθα· καὶ περὶ μὲν Φεῤῥαρίας καὶ Πάδου ἐν τοῖς πρὸ τούτου μοι λόγοις πλατύτερον εἴρηται· περὶ δὲ Βωνονίας εἴρηται μὲν ἴσως καὶ ἄλλοις περιεργότερον ἢ ἡμεῖς τὰ κατ' αὐτὴν ἐξετάσαντες, φύσεως δὲ καὶ θέσεως καὶ τῆς τῶν πεδίων ἀρετῆς, ὡς τὰ γεωργούμενα τῶν ταύτῃ χωρίων, πολύχουν τὸν καρπὸν ἀποδιδοῖ, λέξομεν δὲ καὶ ἡμεῖς εἰ δοκεῖ ἐν ἐπιτόμῳ, ἐξ ὧν τανῦν εἴδομεν· καὶ ἐκ τῶν πραγμάτων αὐτῶν πεῖραν εἰλήφαμεν. — ἔστι τοίνυν ἡ Βωνονία πόλις μεγάλη περιφανής τε καὶ ἐπίσημος, ἔκτισται δ' ἐν χωρίῳ γηλόφῳ, βουνοὺς ἀροσίμους καὶ εὐδένδρους ἐπέχοντι, κεῖται δ' ἐν τῇ ὑπωρείᾳ τῶν Ἀπεννίνων καλουμένων ὀρῶν, τῶν πρὸς Πάδον ποταμὸν καὶ Λογγιβαρδίαν ἐπόντων· τείχεσι δὲ περικυκλοῦται καὶ προπυργίοις· οἰκίας δὲ καὶ ναοὺς κτίσματά τε δημόσια καὶ ἕτερα τέρεμνα ἀποχρώντως κέκτηται· εὔανδροῖ δ' ἐς τὰ μάλιστα καὶ πλήθη ἀνθρώπων ἐν ταύτῃ κατοικεῖ· καὶ γὰρ λέγεται, ὡς τέσσαρας μυριάδας ἀνθρώπων ὅπλα δυναμένων καθυπουργεῖν ἐν καιρῷ χρείας ἑτοίμων παρέχει· πρὸς δ' ἐπιτηδεύ||σεις χειρουργικάς, καὶ πράξεις ἐμπορικὰς

περὶ Βωνονίας πόλεως ἐπισήμου. ϟς΄.

---

1 αὐτοκράτωρι A   ὑπήκουσιν A   5 ἰταλία A   5 τειχέων A   6 πολις A   7 κατάῤῥητος A   7 ἄλη (λ supra add. manus secunda) A   12 πρώτο A   13 τείχεσι A   14 ἡγεμονι A   16 ἡγεμῶνα A   18 ἀσελγῆ A   20 ῥαθίως A   26 καλλήν A   ὠχυρὰν A   27 ἦν A   τριτταῖοι A   29 μοῖ (ι add. man. sec.)   εἴληπται A   31 πολυχουν A   31 λέξωμεν A   34 γηλωφω A   34 ὑπώρειᾳ A

πρὸς τὰς κατὰ Ἰταλίαν ἐπισήμους ἐναμιλλᾶται πόλεις· εἰσὶ δ' ἐν ταύτῃ καὶ μελέται λόγων παντοίων λογικῶν τεχνῶν ἀκροατήρια, εἰς ἃ ἐξ ἁπάσης Εὐρώπης φοιτῶσι χάριν τῆς πρὸς τοὺς λόγους παιδεύσεως· καὶ γὰρ δύο τὰ κατὰ Ἰταλίαν ἐξ ὧν ἴσμεν τυγχάνει γυμνάσια ἀρετῆς λογικὰ τῶν ἄλλων ὑπερφέροντα· τό τ' ἐν Πατανίῳ καὶ τὸ ἐν Βωνονίᾳ ἄξια λόγου τῶν κατ' Εὐρώπην νομιζόμενα· πρὸς δ' ἐδωδίμων καὶ ποτηρῶν δαψίλειαν, ὡς ἐν εὐφορωτάτῳ καὶ πολυκάρπῳ χωρίῳ κειμένη ἁπάσας τὰς ἐν Λογγιβαρδίᾳ πόλεις σχεδὸν ὑπερφέρει, ὡς καὶ πίονα Βωνονίαν ὑπὸ πλείστων ὀνομάζεσθαι· ὑποτέτακται δὲ τῷ Ῥωμαίων ἀρχιερεῖ· αὐτὸς γὰρ τὰ καὶ αὐτὴν ταυτὴν ἔτυχε διοικεῖν· ἐξελθόντες δὲ καὶ ἐκ ταύτης τῆς πρὸς Φλωρεντίαν φερούσης ὁδοῦ ἡψάμεθα· ἀμείψαντες δὲ τὸ Ἀπέννινον καὶ ἐς Τυρρηνίαν ἐμβάντες, ὄρη τε δύσβατα καὶ δρυμῶνας ὁδεύοντες καὶ γῆν οὐ πάνυ τοι εὐκαρπουμένην, ἀλλὰ λυπρὰν καὶ τραχεῖαν, ὅσον τὰ καθ' ὁδὸν ὁρῶντες, ἤλθομεν εἰς πόλιν περιφανεστάτην, Τυῤῥηνίας μητρόπολιν, καλουμένην Φλωρεντίαν· ἔστι δ' ἡ πόλις αὕτη τῷ ὄντι περικαλλὴς καὶ ἐπίσημος, ἐν αὐλῶνί τινι μεγίστῳ εὐδένδρῳ τε καὶ πολυκάρπῳ κειμένη· ποταμὸς δὲ διὰ τοῦ αὐλῶνος ἐκ τῶν Ἀπεννίνων ὀρῶν κατερχόμενος πρόεισιν Ἄρνος καλούμενος, ὃς διὰ μέσης τῆς πόλεως χωρεῖ· κἀκ ταύτης διὰ κοιλάδων τινῶν καὶ γεωλοφιῶν ἐν μέσῳ πόλιν ἀμείβει Πίσαν, κἀκ ταύτης δὲ πρὸς τῷ Τυῤῥηνικῷ πελάγει ἐξερεύγεται· ἡ δὲ πόλις Φλωρεντία, μεγάλη εἴ καί τις ἄλλη τῶν ἐν Ἰταλίᾳ, καθέστηκε τείχεσι μὲν περικυκλουμένη καὶ τάφροις· προπυργίοις δὲ καὶ τοῖς ἄλλοις ὀχυρώμασιν ἀποχρώντως κέκτηται. πρὸς δ' οἰκιῶν οἰκοδομὰς καὶ ναῶν κατασκευὰς ἁπάσας σχεδὸν τὰς ἐν Ἰταλίᾳ ὑπεραίρει πόλεις· ἀγυιὰς δ' ἐν ταύτῃ ἐπ' εὐθὺ τεταμένας, ἀγοράς τε εὐρυχώρους, κτίσματα δημόσια, οἰκίας τε μεγάλας δαψιλῶς ἔπεχει, ὡς ὁρᾶν ἔξεστιν· ὁ δὲ μέγιστος ἐν ταύτῃ νεὼς κάλλει καὶ μεγέθει τῶν ἄλλων ὑπερφέρει· ἀψῖδί τινι μετεώρῳ ἐν μεσαιτάτῳ τοῦ νεὼ πολυτελείᾳ καὶ τέχνης φιλοτιμίᾳ ἐν ὀρόφῳ ὑπερανεστηκότι ἐρήρειστο· αὕτη δ' ἡ πόλις καὶ πάλαι καὶ ταυτὴν ἐφ' ἁπάσης τῆς περὶ αὐτὴν διοικήσεως πρωτεύει· καὶ γὰρ οἱ ἐν ταύτῃ ἀριστοκρατίᾳ διεκυβερνῶντο, καὶ ἔργα μέγιστα ἐπεδείκνυον διά τε γῆς καὶ θαλάττης· πρὸς δ' ἐμπορικὰς πράξεις καὶ ἀντεπιχειρήσεις ἁπάσας τὰς κατὰ Ἰταλίαν σχεδὸν πόλεις πλεονεκτεῖ· δοκοῦσι γάρ πως οἱ ἀστικοὶ ἀγχινοίᾳ καὶ δεινότητι τῶν ἄλλων ὑπερέχειν· ὅθεν ἡ πόλις εὐδαιμονεῖ· εὔανδροι δ' ἐς τὰ μάλιστα, καὶ τῇ πολυανθρωπίᾳ ἐναβρύνεται· ἐπιτηδεύματα μὲν χειρῶν, ὅσα δι' ἐρίων καὶ σηρικῶν ὑφασμάτων, ὅσα δὲ διὰ σιδήρου καὶ ἑτέρας ὁποιασοῦν ὕλης ὑπερφερόντως ἐργάζονται· οἰκεῖ δ' ἐν ταύτῃ πλήθη ἀνδρῶν αὐτοχθόνων τε καὶ τῶν ἄλλων, οὐ πρὸ πολλοῦ ὑφ' ἡγεμόνι ὑποτατιόμενων, εὐγενεῖ τινι τῶν πολιτῶν, ἐξ οἰκίας Μεδίκων καλουμένων, ἀνέκαθεν ἐς Φλωρεντίαν ἀκμαζόντων, καὶ ἐν τοῖς πρωτεύουσιν ἐξεταζομένων· Κλήμης οὖν ὁ ἀρχιερεὺς Ῥωμαίων αἴτιος τῆς τοιαύτης ἡγεμονίας γεγονὼς συνάρσει Καρόλου τοῦ αὐτοκράτορος· καὶ γὰρ ἐξ οἰκίας Μεδίκων εἶναι ἐλέγετο καὶ αὐτός· εὐνομεῖται δὲ, καὶ τῷ σφῶν ἡγεμόνι εὔνοιαν οἱ περιληφθέντες ἐπιδεικνύουσι· πολλοὶ δ' οὖν ἐκ τῶν κρειττόνων μὴ φέροντες ὑφ' ἡγεμόνι ὑποτετάχθαι, σφᾶς μετῴκησαν· καὶ πολλοὶ μὲν ἐν τῇ Ῥωμαίων πόλει, πολλοὶ δ' ἐν Γαλλίαις, ἕτεροι δ' αὖ ἄλλῃ ἄλλος ἐς Ἰταλίαν διεσπάρησαν, ἄνδρες εὐμενεῖς καὶ πολύολβοι, ἱμειρόμενοι καὶ καραδοκοῦντες τὴν πάλαι σφισι πολιτικὴν ἐπαναλαβεῖν καὶ ἀριστοκρατικὴν τῆς σφῶν πόλεως διοίκησιν· καὶ πάντα τρόπον ὅσον ἐξῆν αὐτοῖς ἐπανακινοῦντες, ἵνα τούτων ἐντύχοιεν· καὶ ταῦτα μὲν οὕτως· ὁ δὲ ποταμὸς

περὶ Φλωρεντίας πόλεως περιφανοῦς. ϛʹ.

2 γν in τεχνῶν in rasura 4 litterarum in A   8 αὐτὴν A   10 δρυμῶνας A   10 τραχεῖαν A   21 ἀψῖδι τινὶ A   26 ἀστικοὶ A   27 ἐναβρύνεται A   30 τε A   30 ἡγεμόνι A   33 γεγονὼς A   33 συναρ (σει supra add. man. sec.) A   35 μετοίκησαν A   36 ἄλλος A   39 τούτων A

ὁ διὰ τῆς πόλεως ὡς ἔφαμεν κατερχόμενος, Ἄρνος μὲν ὀνομάζεται, κατέρχεται δ' ἐκ τῶν Ἀπεννίνων ὀρῶν· καὶ διὰ τῆς ῥηθείσης κοιλάδος διὰ Πισαίων ἐς τὸ Τυρρηνικὸν ἐξερεύγεται πέλαγος· ἅπασα μὲν οὖν ἡ ἔγγιστα τοῦ ποταμοῦ χέρσος πολύκαρπός ἐστι καὶ εὔδενδρος, ἐλαιῶν καὶ ἀμπέλων κατάπλεως· τῆς δ' ἀρετῆς τῶν τόπων τεκμήριον ἥ τ' εὐανδρία καὶ τὰ μεγέθη τῶν πόλεων, καὶ ὁ πλοῦτος· καὶ γὰρ ἡ γεωργουμένη γῆ παντοίους ἐκφέρει καρποὺς καὶ αἱ ὕλαι τοσαύτην ἔχουσι βάλανον, ὥστ' ἐκ τῶν ἐντεῦθεν ὑοφορβίων τὸ πλέον τῆς Ἰταλικῆς ἐκτρέφεται γῆς· τὰ δὲ τῆς πόλεως ταύτης προάστεια κάλλει καὶ μεγέθει διαφέρουσι· καὶ γὰρ βασιλικὰς οἰκήσεις ἄν τις εἰκάσειε ταῦτα ἢ ἰδιωτικά· καὶ ταῦτα περὶ τῆς Φλωρεντίνων πόλεως φαμέν, ἐξ ἧς ἐξελθόντες ἤλθομεν ἐς πόλιν Σιένην· αὕτη δ' ἡ πόλις || ἀρχαιοτάτη Τυῤῥηνίας καθέστηκεν, εὐνομεῖται δὲ καὶ μᾶλλον πρὸς δημοκρατικὴν ἢ ἀριστοκρατικὴν πολιτείαν νένευκε· μεγάλη δὲ πέφυκεν, οἰκιῶν πλήθουσα καὶ ἀγορῶν, καὶ ὅσα μὲν πρὸς κάλλος οἰκοδομιῶν τὰς ἐν Ἰταλίᾳ ἐναμιλλᾶται πόλεις· ὑπερφέρει δὲ πρός τε γυναικῶν ὡραιότητα· δοκοῦσι δ' ἀποσώζειν ἔτι ἤθη τινὰ ὡς φάσκουσι τῆς πάλαι Ῥωμαίων εὐγενείας καὶ τούτων ἄποικοι εἶναι διισχυρίζονται, σύμβολά τινα καὶ σημαίας ἐπιδεικνύοντες· διά τοι τοῦτο καὶ κοῦφοι τὰς γνώμας οἱ πλέονες καθεστήκασιν, ἀλαζονευόμενοι καὶ πρὸς ὅ δόξειεν, ἀπερισκέπτως ἐπιῤῥέπουσι· τἆλλα δ' οὐκ ἀγενεῖς, ἀλλὰ καὶ παιδείας ἀντιποιοῦνται καὶ λόγων μετέχουσι· καὶ τοὺς ἐξ ἀλλοδαπῆς φιλοτίμως ἐπιδεχόμενοι εὐμένειαν ἐπισπῶνται· ἔκτισται δ' ἐν τῇ πόλει καὶ νεὼς ἀξιέπαινος, εἰς ὃν καὶ νοσοκομεῖον ἔγγιστα κεῖται λόγου ἄξιον· ἅπαντας γὰρ ἐξ ἁπάσης σχεδὸν τοὺς νόσῳ βεβαρυμμένους ἐπιδεχόμενοι γῆς, παντοίαν αὐτοῖς ἀρωγὴν ἐπιχορηγοῦσιν ἄχρις ἂν ὑγιεῖς γένωνται· νένευκε δ' ἡ πόλις αὕτη ἐς τὴν τοῦ αὐτοκράτορος φιλίαν· ὁ γὰρ αὐτοκράτωρ φρουρὰν ἐν ταύτῃ κρα||τεῖν οὐ πρὸ πολλοῦ εἴωθεν διαφωνίᾳ καὶ διχονοίᾳ τῶν πολιτῶν, ὡς ἔγνωμεν. ἐπέχει δὲ γῆν ἀρώσιμον, πεδιάδα τε καὶ ὄρειον, γεωλοφίαις εὐκάρποις πεποικιλμένην, ἐξ ἧς ἐξελθόντες καὶ διὰ πεδίων ὁδεύοντες, αὐλῶνάς τε καὶ γηλοφίας εὐδένδρους ἀμείβοντες καὶ πόλεις τινὰς οὐ πάνυ τοι μεγάλας, καί τινα λίμνην ὑδάτων ποτίμων ἔμπλεω καλουμένην Βουλσένην ἐν δεξιᾷ ἐάσαντες, ἥτις ὄψον ἄφθονον ἀεὶ τοῖς περιοικοῦσι παρέχει, ἤλθομεν εἴς τι πεδίον, ἔνθα ὀδμαί τινες ἀηδεῖς διαπύροις ὀφρύσι καμινώδεις ἔχουσαι ἀναπνοὰς πολλαχοῦ καὶ βρωμώδεις ἱκανῶς, τὸ δὲ πεδίον θειώδεις καὶ ἀσφαλτώδεις ἔν τισι τόποις ἐμφαίνει χροιὰς καὶ θερμῶν ὑδάτων ἐκβλίσεις, ἔνθεν τοι καὶ διαβάντες οὐ πλεῖστον ἄποθεν ἤλθομεν εἰς πόλιν ἐν ὑπωρείᾳ ὄρους τινὸς κειμένην, Οὐιτέρβῳ καλουμένην· ἔστι δ' ἀρχαιοτάτη τῶν ἐν ταύτῃ τῇ περιχώρῳ πόλεων· τείχεσι γὰρ περικυκλοῦται καὶ προπυργίοις, οἴκοις τε εὐθύνεται καὶ ναοῖς, ὕδασί τε καὶ κρήναις δαψιλῶς κέκτηται, εὔανδροι δὲ καὶ πρὸς εὐνομίαν νένευκε· χρῆται δὲ νόμοις τοῖς τοῦ Ῥωμαίων ἀρχιερέως, ἐς ὃν καὶ ὑποτέτακται. ἐξ ἧς ἐξελθόντες τῆς πρὸς τῆς Ῥωμαίων πόλεως ὁδοῦ ἠρξάμεθα. ὅθεν γηλοφίαις πλείσταις ἀμείψαντες ἤλθομεν ἐς ὕλην τινὰ δασυτάτην, καλουμένην Βάκανον· καὶ γὰρ διὰ μέσης διαβάντες ἐς τὰ πέριξ τῆς Ῥωμαίων πόλεως πεδία ἀφίγμεθα· ἐν ταύτῃ γὰρ τῇ ὕλῃ οἵ τ' ἐπ' ἐγκλήμασιν ἐκ τῆς Ῥωμαίων φυγαδευόμενοι ἀπέφευγον καὶ σκηνούμενοι τῇ ὕλῃ τοὺς προστυχόντας ἐλῄστευον· καὶ φόνος οὐκ ὀλίγος ὁσημέραι ἐγίγνετο, ὁ δὲ Ῥώμης ἀρχιερεὺς προνοίᾳ τὰς λῃστείας κατέπαυσε· τὰς γὰρ ὁδοὺς

περὶ Σιένης πόλεως ἐπισήμου. λή.

περὶ Οὐιτέρβου πολεως. λϑ.

1 ἔφημεν A 6 ὥς τ' A 10 καὶ A: requiritur ἢ 15 κούφοι A 19 βεβαρυμένους A ἐπιδεχόμενον A γῆς (uel πόλεως) om. A παντοῖαν A ἐπιχορηγοῦν A 23 αὐλῶνας τὲ A 24 γηλωφίαις A 27 ἐχούσαις A 27 βρομώδεις A 29 ὑπώρεια A 30 ἐν om. A 31 εὐθυνεῖται A 34 δασητάτην A 37 ἐλήστευον A 38 λῃστείας A

τὰς ἐν τῇ ὕλῃ, ἐκκόψας τὰ δένδρα, εὐρύναιο, καὶ καταφανεῖς ἀπειργάσατο, ὅθεν εὐκαταφρόνητος τοῖς ὁδοιπόροις ταυῦν ὁ δρυμὼν γέγονεν· ἐξελθόντες οὖν ἐκ τῶν ὑλωδῶν χωρίων καὶ διὰ πεδιασίμων καὶ ἀνίκμων ὁδεύοντες χωρίων ἤλθομεν ἐς τὴν περιφανεστάτην καὶ περίφημον Ῥώμην, περὶ ἧς εἰ τὰ κατ᾽ αὐτὴν εἴποιμεν, περιττοὶ τοῖς ἐντυγχάνουσι δόξαιμεν ἄν, εὐδιαγνώστου τυγχανούσης, καὶ τοὺς τὰ περὶ αὐτὴν ἐξηγουμένους ἀφθόνως ἐχούσης· καὶ γὰρ ἄλλοι πρὸ ἡμῶν ἀποχρώντως ἱστορήκασι καὶ τοῖς μετ᾽ αὐτῶν παραδεδώκασι· τοιγαροῦν ἡμεῖς ἐν ταύτῃ διατρίψαντες ἡμέρας τινὰς ὡς Οὐενετίους ἀπιέναι παρεσκευάσμεθα· καὶ δὴ ἐκ τῆς Ῥωμαίων ἐξελθόντες καὶ τὸν ποταμὸν Τίβεριν ἐκπεράσαντες δι᾽ Ὀκρίκλων πόλιν δευτεραῖοι τῆς Ὀμβρικῆς.

2 *ὁλοδῶν* A 4 *εἴπομεν* A *δόξωμεν* A 5 *ἐχούσης* man. sec. add. in marg. in A
7 *οὐενετίαις* A 9 in uerbum *ὀμβρικῆς* desinit A